# 05 MAI

# EGKOMIA SF.CUVIOS-MUCENIC EFREM DE LA NEA MAKRI

## EGKOMIER-GR

www.tezaurliturgic.ro



# ΕΓΚΩΜΙΑ ΨΑΛΛΟΜΕΝΑ ΚΑΤΗ ΤΗΝ ΑΓΡΥΠΝΙΑΝ

## ΣΤΑΣΙΣ Α΄

Μακαρίζομέν σε ἱερέων τερπνόν, καὶ Μαρτύρων καλλονὴ καταστέφοντες, τὴν μνήμην σου Ἐφραὶμ Ὅσιε εὐλαβῶς.

Μακαρίζομέν σε Ἐκκλησίας Χριστοῦ, τὸν φωστῆρα τὸν νεόλεκτον Ὅσιε, καὶ νεόδμητον θησαύρισμα πιστῶν.

Παρρησίαν ἔχων πρὸς Θεὸν ἀληθῶς, μὴ ἐλλείπῃς ἱκετεύειν Ἐφραὶμ πατὴρ ἡμῶν, λυτρωθῆναι συμφορῶν καὶ πειρασμῶν.

Εἰ καὶ τὰφῳ Πάτερ κατετέθη τὸ σόν, ἀκραιφνεστατον καὶ ἅγιον σῶμά σου, ἀλλὰ ζῇς καὶ τάς ἰάσεις χορηγός.

Τῆς ψυχῆς κοσμήσας τὴν λαμπάδα φαιδρῶς, ταῖς ἐνθέοις ἀρεταῖς κατηξίωσας, τοῦ νυμφίου τῆς χαρᾶς ἀπολαβεῖν.

Σὺν Ἀγγέλοις Πάτερ νῦν αὐλίζει σαφῶς, καὶ Ὁσίων καὶ Μαρτύρων τοῖς τάγμασιν, ὡς ἐκεῖνοι γὰρ ἐβίωσας ἐν γῇ.

Τοῦ Ὁσίου δέχου τάς λιτὰς ὁ Θεός, καὶ ἐλέησον τὸν κόσμον σου Ἐφραὶμ Ἅγιε, τὴν εἰρήνην παρεχόμενος πιστοῖς.

Ἡ Μονὴ Ἀμώμων σὲ προστάτην θερμόν, προβαλλόμεθα πρὸς Κύριον Ὅσιε, ῥῦσαι ἅπαντας κινδύνων σαῖς λιταῖς.

Εὐφροσύνης πάσης ἔμπλησον τοὺς πιστῶς, προσιόντας τῇ σοφῷ σου μακάριε, καὶ τιμῶντάς σου τὴν ἔνδοξον σφαγήν.

Δόξα Πατρί.

Δόξα σοι Θεέ μου, παναγία Τριάς, ὁ Πατὴρ καὶ ὁ Υἱὸς σὺν τῷ Πνεύματί, σῷζε πάντας τοὺς ἐλπίζοντας εἰς σέ.

Καὶ νῦν.

Μεγαλύνομέν σε τὴν Μητέρα Θεοῦ, σὺ ἡμᾶς Παρθένε ἀξίωσον, βασιλείας οὐρανῶν ἐπιτυχεῖν.

Καὶ πάλιν τὸ πρῶτον.

Μακαρίζομέν σε ἱερέων τερπνόν, καὶ μαρτύρων καλλονὴν Ἐφραὶμ Ὅσιε, καταστέφοντες τὴν μνήμην σου ἐν ᾠδαῖς.

## ΣΤΑΣΙΣ Β'.

Ἄξιον ἐστί, τὸν φωστῆρα σε τῆς Ἐκκλησίας, τὸν νεοφανέντα τοῖς ᾄσμασι, καταστέφειν σεπτῶς Ἐφραὶμ θαυματουργὲ ὅσιε.

Δέχου τὰς λιτάς, τῶν σὲ τιμώντων καὶ Θεόν, ἱκέτευσον μακάριε, ὑπὲρ τῶν τιμώντων, τὴν θείαν μνήμην σου.

Ἔφησε ποτέ, θεὶῳ Πνεύματι ὁ προφητάναξ, δίκαιος ὡς φοίνιξ ἀνθήσεται, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ γὰρ φυτευθείς.

Ξύλου φυτευθέν, τῶν ὑδάτων ἐν τοῖς διεξόδοις, σὺ ἐδείχθης βλαστήσας, καρποὺς ἀειθαλεῖς Ἐφραὶμ μακάριε.

Ζῶσι τῷ Χριστῷ, ὄντως δίκαιοι είς τὸν αἰῶνα, ζῇς θεόφρον Ἐφραὶμ πατὴρ ἡμῶν, αὐλιζόμενος μετὰ τῶν Ἀγγέλων καὶ δικαίων χορείαις.

Μακάριος ἀνήρ, ὃς ούκ ἀπῆλθεν ἐν βουλῇ ἀνόμων, ὡς γέγραπται· ὅθεν εἴληφας, τὰ γέρα ἐκ Θεοῦ Ἐφραὶμ μακάριε.

Γέρα ἐκ Θεοῦ, δντως ἔλαβες Ὅσιε πάτερ, πάντων θεραπεύεις νοσήματα, τῶν τιμώντων σου τὴν ἔνδοξον σφαγήν.

Ἄλλον ἐκτὸς σοῦ, ού δυνάμεθα εὑρεῖν προστάτην, καὶ πρὸς τὸν Θεὸν μεσίτην θερμότατον, ἵνα φύγωμεν ἐνέδρας τοῦ ἐχθροῦ.

Ζάλη πειρασμῶν, ἀπειλεῖ ἡμᾶς τοὺς σοὺς οἰκέτας, ἐλευθερωτὴν δὲ ἄλλον ούκ οἴδαμεν, είμὴ τὴν δεξιάν σου τὴν κραταιάν.

Δεῦτε οἱ πιστοί, ἐφυμνήσωμεν ᾄσμασι θείοις, μνήμην τοῦ Ἁγίου ἱερομάρτυρος, Ἐφραὶμ τοῦ θαυματουργοῦ.

Δόξα Πατρί.

Ἄναρχε Τριάς, ὁμοούσιε Μονὰς Ἁγία, ούρανίου πάντας βασιλείας ἀξίωσον, ταῖς λιταῖς τοῦ Πατρὸς ἡμῶν Ἐφραὶμ .

Καὶ νῦν.

Πάντες οἱ πιστοί, μακαρίσωμεν τὴν Θεοτόκον, ἡ τῶν πάντων κτίστην κυήσασα, καὶ λυτρώσασα τῆς πλάνης τοὺς βροτούς.

Καὶ πάλιν τὸ πρῶτον.

Ἄξιον ἐστι, τὸν φωστῆρά σε τῆς Ἐκκλησίας, τὸν νεοφανέντα τοῖς ᾄσμασι, καταστέφειν σεπτῶς Ἐφραὶμ θαυματουργὲ Ὅσιε.

## ΣΤΑΣΙΣ Γ'.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Ἐφραὶμ Ἀγγέλων δόξα.

Ἐφραὶμ θέοφρον πάτερ, ἱλέωσας τὸν Κτίστην, ὑπὲρ τῶν σὲ τιμώντων.

Περίσωζε καὶ σκέπε, τοὺς πίστει τε καὶ πόθῳ, καρδίας σὲ ὑμνοῦντας.

Τὴν στενὴν τρισμάκαρ, ὁδὸν καὶ τεθλιμμένην, διόδευσας Κυρίου.

Ἐφραὶμ ταῖς σαῖς λιταῖς σου, δωρήσας τοῖς σοῖς δούλοις, πλημμελημάτων λύσιν.

Ἡμᾶς τοὺς σοὺς ἱκέτας, συντήρησον ἀτρώτους, βελῶν τῶν τοῦ Βελίαρ.

Σπεῦσον ἡμᾶς σῶσον, ἀνάγκης ἐνεστώσης, Ἐφραὶμ θέοφρον πάτερ.

Ὅλῃ προθυμίᾳ, προστρέχομεν τῇ σορῷ σου, κακῶν αἰτοῦντες λύσιν.

Οὐδεὶς ἰσχύσει σῶσαι, τῆς νῦν ἡμᾶς ἀνάγκης, ἐὰν σὺ μὴ προφθάσῃς.

Δέχου ὦ Θεέ μου, ὑπὲρ λαοῦ σου πρέσβυν, Ἐφραὶμ τὸν θεοφόρον.

Δόξα Πατρί.

Τριὰς ὑπὲρ Ἁγία, εἰρήνευσον τὸν κόσμον, πρεσβείαις τοῦ Ἁγίου.

Καὶ νῦν.

Εἰρήνη Ἐκκλησίαις, τῷ κόσμῳ σωτηρίαν, δώρησαι Θεοτόκε.

Καὶ πάλιν τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Ἐφραὶμ θεόφρον πάτερ. Ἐφραὶμ θεόφρον, ἱλέωσαι τὸν κτίστην, ὑπὲρ τῶν σὲ τιμώντων.